6 6 αὐτὸς Βαναιας δυνατώτερος τῶν τριάκοντα καὶ ἐπὶ τῶν τριάκοντα,
7 καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ Αμιζαβαθ υἱὸς αὐτοῦ. 7 ὁ τέταρτος
εἰς τὸν μῆνα τὸν τέταρτον Ασαηλ ὁ ἀδελφὸς Ιωαβ καὶ Ζαβδιας
ὁ υἱὸς αὐτοῦ καὶ οἱ ἀδελφοί, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσα-
8 ρες καὶ εἴκοσι χιλιάδες. 8 ὁ πέμπτος τῷ μηνὶ τῷ πέμπτῳ ὁ ἡγού-
μενος Σαμαωθ ὁ Ιεσραε, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ εἴκοσι
9 τέσσαρες χιλιάδες. 9 ὁ ἕκτος τῷ μηνὶ τῷ ἕκτῳ Οδουιας ὁ τοῦ Εκ-
κης ὁ Θεκωίτης, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσαρες καὶ εἴκοσι
10 χιλιάδες. 10 ὁ ἕβδομος τῷ μηνὶ τῷ ἑβδόμῳ Χελλης ὁ ἐκ Φαλλους
ἀπὸ τῶν υἱῶν Εφραιμ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσαρες
11 καὶ εἴκοσι χιλιάδες. 11 ὁ ὄγδοος τῷ μηνὶ τῷ ὀγδόῳ Σοβοχαι ὁ
Ισαθι τῷ Ζαραϊ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσαρες καὶ εἴκοσι
12 χιλιάδες. 12 ὁ ἔνατος τῷ μηνὶ τῷ ἐνάτῳ Αβιεζερ ὁ ἐξ Αναθωθ ἐκ
γῆς Βενιαμιν, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσαρες καὶ εἴκοσι
13 χιλιάδες. 13 ὁ δέκατος τῷ μηνὶ τῷ δεκάτῳ Μεηρα ὁ ἐκ Νετουφατ
τῷ Ζαραϊ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσαρες καὶ εἴκοσι χιλι-
14 άδες. 14 ὁ ἑνδέκατος τῷ μηνὶ τῷ ἑνδεκάτῳ Βαναιας ὁ ἐκ Φαραθων
τῶν υἱῶν Εφραιμ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσσαρες καὶ
15 εἴκοσι χιλιάδες. 15 ὁ δωδέκατος εἰς τὸν μῆνα τὸν δωδέκατον Χολ-
δαι ὁ Νετωφατι τῷ Γοθονιηλ, καὶ ἐπὶ τῆς διαιρέσεως αὐτοῦ τέσ-
σαρες καὶ εἴκοσι χιλιάδες.
16 16 Καὶ ἐπὶ τῶν φυλῶν Ισραηλ· τῷ Ρουβην ἡγούμενος Ελιεζερ ὁ
17 τοῦ Ζεχρι, τῷ Συμεων Σαφατιας ὁ τοῦ Μααχα, 17 τῷ Λευι Ασαβιας
18 ὁ τοῦ Καμουηλ, τῷ Ααρων Σαδωκ, 18 τῷ Ιουδα Ελιαβ τῶν ἀδελ-
19 φῶν Δαυιδ, τῷ Ισσαχαρ Αμβρι ὁ τοῦ Μιχαηλ, 19 τῷ Ζαβουλων
20 Σαμαιας ὁ τοῦ Αβδιου, τῷ Νεφθαλι Ιεριμωθ ὁ τοῦ Εσριηλ, 20 τῷ
Εφραιμ Ωση ὁ τοῦ Οζιου, τῷ ἡμίσει φυλῆς Μανασση Ιωηλ ὁ τοῦ
21 Φαδαια, 21 τῷ ἡμίσει φυλῆς Μανασση τῷ ἐν τῇ Γαλααδ Ιαδδαι ὁ
22 τοῦ Ζαβδιου, τοῖς υἱοῖς Βενιαμιν Ασιηλ ὁ τοῦ Αβεννηρ, 22 τῷ Δαν

6 αμιζαβαθ V†] αμιβαζαθ compl., λαιβαζαθ B†, αμιραζαθ A^r† || 7 ζαβδιας] ζ > B | αδελφοι] + αυτου οπισω αυτου *L*† || 8 σαμαωθ] σαλαωθ B | ιεσραε unus cod. cum B cognatus] ι > B†, ιεζραε V, ιεζραελ A | τεσσ.] pr. και A || 9 τω $1^0$ > A | οδουιας B (cf. 3 24)] αδ. compl., ιδ. *L*†; ειρα A: cf. 11 28 | ο του] υιος A | θεκωνειτης B† | τεσσ. και εικοσι B†] tr. A || 10 χελλης] χεσ-λης B† || 11 ο ισαθι τω ζαρ. > A† | ισαθ(ε)ι B†] εσσαθι *L*†, ασωθι V | ζα-ραι Vpl.] ζαρια B: cf. 13 || 12 ο $2^0$ > B† || 13 μεηρα B(†)] μοοραι A | ζαρει B†: cf. 11 || 15 χολδαι] -δεια B, ολδια(uel οδδια) *L*† | νετωφατι Ra. (sim. *L*p†)] pr. εκ rel.: ad 13 adapt. || 16 τω $1^0$] των B | μαχα B || 17 κα-μουηλ] σαμ. B† || 18 αμβρ(ε)ι (cf. II 22 2)] αμρι mu., αμαρι AV† | μιχαηλ] μεισαηλ B: cf. II 21 2 || 19 ιεριμωθ] ερ. B(†): cf. 25 22; -μουθ A: cf. 25 4 | εσρ(ε)ιηλ B†] οζιηλ A || 20 φαδαια Sixt.] φαδαιου mu., φαδδαια unus cod. cum B cognatus, φαλδαια V, φαλαδαια B†, φαλδιι A† || 21 τω $2^0$] των B | τη] > A†, γη *L* | ασιηλ] -ηρ B(†)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/858 UNIVERSITÄT LEIPZIG